www.tezaurliturgic.ro




Εκδόσεις ΠΝΟΗ Ι.Μ. Κορίνθου, Κόρινθος 1977

# Ἀκολουθία τοῦ ἁγίου ἐνδόξου Ἱερομάρτυρος Διονυσίου, Ἐπισκόπου Κορίνθου

Ψαλλομένη τῇ 29η Νοεμβρίου.

Ποίημα Γερασίμου Μικραγιαννανίτου.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ζῆλον ἐνθεώτατον, ἐπιδειξάμενος Ὅσιε, Ἀποστόλων ὁμότροπος, ὤφθης Διονύσιε, βίῳ τε καὶ λόγῳ, καὶ λαμπρᾷ σοφίᾳ, καὶ ἐναρέτῳ ἀγωγῇ, κεκοσμημένος καὶ λαμπρυνόμενος, τοῦ Πνεύματος τῇ χάριτι, καὶ Ἱεράρχης θεόληπτος, καὶ Μαρτύρων ἰσότιμος, ἀληθῶς ἐχρημάτισας.

Θεῖον Ἱεράρχην σε, καὶ ποιμενάρχην θεόσοφον, ἡ τοῦ Πνεύματος ἔλλαμψις, ἀνέδειξεν Ὅσιε, τῆς ἐν τῇ Κορίνθῳ, Χριστοῦ Ἐκκλησίας· ἔνθεν ἐποίμανας καλῶς, ἐπὶ λειμῶνας τῆς θείας πίστεως, λαὸν τὸν περιούσιον, Πάτερ σοφὲ Διονύσιε· διὰ τοῦτο ἡ Κόρινθος, ἑορτάζει τὴν μνήμην σου.

Λόγῳ θείῳ Ἅγιε, καὶ διδαχαῖς σεμνυνόμενος, ὑποφήτης ὡς ἔνθεος, Πάτερ Διονύσιε, Πνεύματι Ἁγίῳ, λόγον σωτηρίας, ἐν ἱεραῖς ἐπιστολαῖς, ταῖς Ἐκκλησίαις πέμπεις μακάριε, πρὸς βίον τὸν ὑπέρτερον, καὶ εὐσεβείας ἀκρότητα, κατευθύνων μακάριε, εὐσεβῶν τὴν διάνοιαν.

Αἵματι ἐφοίνιξας, ὡς ἐναθλήσας στερρότατα, ἱερὲ Διονύσιε, στολὴν τὴν ἁγίαν σου, καὶ ἀνῆλθες χαίρων, ἔνθα πρὶν εἰσῆλθε, πρόδρομος πάντων ὁ Χριστός, οὗ τῷ προσώπῳ ἐμφανιζόμενος, ἱκέτευε δεόμεθα, ὑπὲρ τῶν πίστει τιμώντων σε, ὡς ποιμένα θεόσοφον, καὶ ἀήττητον μάρτυρα.



Εκδόσεις ΠΝΟΗ Ι.Μ. Κορίνθου, Κόρινθος 1977

**Δόξα. Ἦχος α΄.**

Ποιμαντικῶς ἐμπρέψας, ὡς σοφὸς οἰκονόμος τῆς χάριτος, μαρτυρικῆς ἐπέβης λαμπρότητος, Διονύσιε μακάριε· τὸν γὰρ θάνατον τοῦ Χριστοῦ, ὡς Ἱεράρχης θεῖος μιμησάμενος, τῆς ἀθανάτου ζωῆς ἐδρέψω, τὸν καρπὸν ἀξίως. Αὐτῆς καὶ ἡμᾶς ἀξίωσον, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, Ἱερομάρτυς ἀξιάγαστε.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

**Ἀπόστιχα.**

**Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Θεῖος ἀρχιερεύς, τῆς ἐν Κορίνθῳ πέλων, ἁγίας Ἐκκλησίας, ἀθλητικῆς ἐπέβης, εὐκλείας Διονύσιε.

**Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...**

Νέμων θεοπρεπῶς, τὴν ποίμνην σου παμμάκαρ, ὑπὲρ αὐτῆς προθύμως, ἐκχέεις τὸ σὸν αἷμα, ἀθλήσας Διονύσιε.

**Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει...**

Θύων τὴν μυστικήν, θυσίαν ἀναιμάκτως, ὡς θῦμα προσηνέχθης, τῷ Ζωοδότῃ Λόγῳ, ἀθλήσας Διονύσιε.

**Δόξα. Τριαδικόν.**

Ἕνα σε ἐν τρισίν, οὐσίᾳ τοῖς προσώποις, Θεὸν Τριὰς Ἁγία, κηρύττει καὶ δοξάζει, ὁ θεῖος Διονύσιος.

**Καὶ νῦν. Θεοτοκίον.**

Ὅλος ὢν ἐν Πατρί, ὅλος ἐκ σοῦ ἐτέχθη, ὁ Λόγος ἀσυγχύτως, Παρθένε Θεοτόκε, καὶ τὸν Ἀδὰμ ἀνέπλασε.

**Νῦν ἀπολεύεις, τὸ τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.**



Εκδόσεις ΠΝΟΗ Ι.Μ. Κορίνθου, Κόρινθος 1977

www.tezaurliturgic.ro


## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Λάμπων εὐσεβείας τῷ φωτί, καὶ τῶν ἀρετῶν ταῖς ἰδέαις, κατακοσμούμενος, ὤφθης ἐνθεώτατος ποιμὴν καὶ πρόεδρος, Ἐκκλησίας ἐν Πνεύματι, τῆς ἐν τῇ Κορίνθῳ, ὡς σοφίας ἔμπλεως, καὶ λόγου κρείττονος· ὅθεν καὶ ἀθλήσας νομίμως, στέφανον διπλοῦν ἐκομίσω, Πάτερ Ἱεράρχα Διονύσιε.

Ὅλος ἀνακείμενος Θεῷ, τοῦ Εὐαγγελίου ἐργάτης, δόκιμος πέφηνας, Πάτερ Διονύσιε, καὶ στόμα ἔνθεον, διδαγμάτων τῆς πίστεως, πιστῶν τὰς καρδίας, γεωργῶν τῷ λόγῳ σου, ζωὴν πρὸς κρείττονα· ὅθεν καὶ τμηθεὶς τὸν αὐχένα, Μάρτυς ἀληθὴς ἀνεδείχθης, τοῦ σὲ μεγαλύναντος μακάριε.

Θύων τὸν ἀμνὸν τὸν τοῦ Θεοῦ, καὶ τὸ Εὐαγγέλιον Πάτερ, ἱερουργῶν τοῦ Χριστοῦ, τούτῳ προσενήνεξαι, ὡς θῦμα τέλειον, καὶ θυσία εὐσπρόδεκτος, καὶ κάρπωμα θεῖον, τέλος ὡς δεξάμενος, θεῖον τῷ ξίφει πληγείς. Ὅθεν τὴν σὴν μνήμην τελοῦντες, ὡς Ἱερομάρτυρα θεῖον, μάκαρ Διονύσιε τιμῶμέν σε.

Ὤφθης Ἀποστόλων μιμητής, ὡς διαπρεπὴς ἐν τῷ βίῳ, καὶ πλήρης θείου φωτός, Πάτερ Διονύσιε Ἀρχιερεῦ τοῦ Χριστοῦ· ἐν σοφίᾳ γὰρ Ὅσιε, καὶ πράξεσι θείαις, ἱερῶς ἐποίμανας, τὴν Ἐκκλησίαν Χριστοῦ, λύων τῶν παθῶν τὴν ὁμίχλην, καὶ ἐπιστολὰς θείας πέμπων, ὡς μυσταγωγὸς τῆς θείας χάριτος.

Χαίρει Ἐκκλησία τοῦ Χριστοῦ, ἡ ἐν τῇ Κορίνθῳ ποιμένα, θεῖόν σε ἔχουσα, Πάτερ Διονύσιε, καὶ μέγα στήριγμα, καὶ διδάσκαλον ἔνθεον, καὶ τὴν σὴν ἁγίαν, μνήμην ἑορτάζουσα, πόθῳ κραυγάζει σοι· Σκέπε τὴν μερίδα σου ταύτην, πάσης ἐπηρείας καὶ βλάβης, ταῖς πρὸς τὸν Δεσπότην ἱκεσίαις σου.

Τέμνων τὰ ζιζάνια σοφέ, λόγῳ τμητικῷ σου ἁγίῳ, ὡς Ἱεράρχης σοφός, βίου καθαρότητα, καὶ εὐσεβείαις καρπούς, γεωργεῖν ἐνεούργησας, ψυχῶν τὰς ἀρούρας, ἃς καὶ θείοις νάμασι, πλουσίως ἤρδευσας.



Εκδόσεις ΠΝΟΗ Ι.Μ. Κορίνθου, Κόρινθος 1977

Ὅθεν τοῖς ὑμνοῦσί σε αἴτει, ἄφεσιν πταισμάτων διδόναι, Πάτερ Διονύσιε θεόσοφε.

**Δόξα. Ἦχος πλ. δ΄.**

Τῷ λόγῳ τῆς χάριτος, τὴν ζωὴν κατευθύνων, ἐν σοφίᾳ διαπρεπής, καὶ ἐν βίῳ περίβλεπτος, ὤφθης Διονύσιε μακάριε· καὶ Ἀποστολικὴν ἀμφιασάμενος χάριν, τὴν δοθεῖσαν ἐξουσίαν, πανσόφως διήγαγες, καλῶς ποιμάνας, τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ· σεαυτὸν γὰρ παρέστησας, τύπον καὶ ὑπογραμμόν, ἐν λόγῳ ἐν ἔργῳ καὶ ἀναστροφῇ, ὡς Ἱεράρχης ὅσιος· καὶ αἵματι οἰκείῳ, σφραγίσας τὸν βίον, μαρτυρικῶς Χριστῷ ἐξεδήμησας, Ἱερομάρτυς ἔνδοξε· ὃ πρέσβευε δεόμεθα, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Ἦχος ὁ αὐτός.**

Ὁ Βασιλεὺς τῶν οὐρανῶν, διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ Ἁγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθών, μετὰ τῆς προσλήψεως, εἷς ἐστιν Υἱός, διπλοῦς τὴν φύσιν, ἀλλ᾿ οὐ τὴν ὑπόστασιν· διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε, Μῆτερ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.**

**Παροιμιῶν τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ΄. 13).**

Μνήμη δικαίου μετ᾿ ἐγκωμίων...

(Ὅρα εἰς σελίδα 14 τοῦ παρόντος).

**Παροιμιῶν τὸ Ἀνάγνωσμα.**
**(Κεφ. ι΄. 31).**

Στόμα δικαίου ἀποστάζει σοφίαν...

(Ὅρα εἰς σελίδα 15 τοῦ παρόντος).

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.**
**(Κεφ. γ΄. 1).**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ...

(Ὅρα εἰς σελίδα 71 τοῦ παρόντος).

### Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

#### Ἦχος α΄.

Ἀποστολικὴν ἔχων πολιτείαν, τὸ ποιμαίνειν τοὺς ἄρνας τοῦ Χριστοῦ, ἄνωθεν πεπίστευσαι, Διονύσιε Πατὴρ ἡμῶν· καὶ τὴν ἐν Κορίνθῳ Ἐκκλησίαν, θεοπρεπῶς ἐκόσμησας, εὐσεβείας δόγμασι, καὶ ἀμέμπτου βίου ἤθεσιν, ὡς Ἱεράρχης θεόσοφος, καὶ ποιμὴν ἀληθινός· ὅλον γὰρ δέδωκας σαυτόν, τῇ θείᾳ εὐδοκίᾳ, ὡς τοῦ Σωτῆρος μαθητής· ὑπὲρ οὗ καὶ ἀθλήσας, τῆς ἄνω δόξης ἠξίωσαι, ὑπὲρ ἡμῶν δεόμενος, Ἱερομάρτυς ἀξιάγαστε.

#### Ἦχος β΄.

Πάτερ Διονύσιε, τῆς εὐσεβείας κατασπείρων τὸν λόγον, τὰς πρὶν ἀγόνους καρδίας, γονίμους ἐτέλεσας, διδαχῶν ἀρότρῳ· καὶ πολύχουν καρπὸν θερίσας, τοὺς τῷ θείῳ σφραγισθέντας αἵματι, ἀμέμπτως καὶ ὁσίως, τῷ Θεῷ ἱεράτευσας, ὡς Ἱεράρχης ὅσιος, καὶ μυσταγωγὸς τῶν ἀρρήτων· ὅθεν ἐκχέαι τὸ αἷμά σου, ὑπὲρ Χριστοῦ ἠξίωσαι, στερροτάτῃ ψυχῇ· ᾧ καὶ προσηνέχθης, ὡς ἱερεῖον ἄμωμον, καὶ τῇ ἄνω ἱεραρχίᾳ συνήφθης, ἐν μετοχῇ θείᾳ θεούμενος. Ἀλλ᾽ ὡς θεῖος Ἱερομάρτυς, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

#### Ἦχος γ΄.

Τὴν θύραθεν σοφίαν, τῶν Ἀποστόλων ὑποτάξας τῷ φθόγγῳ, τοῦ Εὐαγγελίου τῆς εἰρήνης, ὑπηρέτης θεόσοφος, καὶ ὑφηγητὴς θεοειδής, ἀνεδείχθης Ἱεράρχα Διονύσιε· καὶ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, θείαις λαμπρύνας διδαχαῖς, ἐναρέτου ζωῆς ὤφθης διδάσκαλος, καὶ ἀρετῶν ἁγίων ὄργανον· καὶ ἀθλητικὸν ὑπελθὼν ἀγῶνα, τῆς ἀπάτης τὴν ἀχλὺν ἐσκέδασας, τῆς εὐσεβείας πᾶσιν, ἐκλάμψας τὴν λαμπρότητα· καὶ νῦν Ἀγγέλοις συνών, σὺν αὐτοῖς ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

#### Ἦχος δ΄.

Τῆς θείας γνώσεως τὸ φῶς ἐκλάμπων, φωστὴρ θεῖος ὤφθης, ζωῆς λόγον ἐπέχων, κατὰ τὸν θεῖον Ἀπόστολον, Ἱερομάρτυς Διονύσιε· καθαγνίσας γὰρ τὸν νοῦν, θείων ἀπλήσθης ἐπιλάμψεων, καὶ τῆς ἄνωθεν σοφίας, ἐδρέψω τὰς χάριτας, πρὸς ὁδὸν σωτηρίας, ὁδηγῶν τοὺς

θεόφρονας· καὶ τοὺς πλανηθέντας ἐπανάγων, μαρτυρικῶς κατηγωνίσω τὸν ἀντίπαλον· καὶ τὸ βραβεῖον τῆς νίκης παρὰ Χριστοῦ ἐδέξω, τοῦ παρέχοντος διὰ σοῦ, ἡμῖν τὸ θεῖον ἔλεος.

**Δόξα. Ὁ αὐτὸς**

Τὸν ἐν Ἱεράρχαις θεόσοφον, καὶ ἐν Ἀθληταῖς ἱερώτατον, Διονύσιον τὸν μέγαν, αἱ τῶν πιστῶν χορεῖαι μελωδικῶς εὐφημήσωμεν· τοῦ Παρακλήτου γὰρ τὴν χάριν, ὡς τῷ κόσμῳ νεκρωθεὶς δεξάμενος, τῆς Κορίνθου ὤφθη, ποιμενάρχης θεοειδής, καὶ πάσης Ἐκκλησίας διδάσκαλος ἔνθεος· καὶ μαρτυρικοῖς ἀγῶσι, τὴν ἱερωσύνην λαμπρύνας, διπλῶν ἐπάθλων παρὰ Χριστοῦ ἠξίωται, πρεσβεύων ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἐκ παντοίων κινδύνων...

**Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.**

**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.**

Χαίροις ὁ Ἱεράρχης Χριστοῦ, ὁ τῆς Κορίνθου ποιμενάρχης καὶ πρόεδρος· σοφίας θείας ταμεῖον, τῶν εὐσεβῶν ὁδηγός, Ἐκκλησίας πάσης θεῖον στήριγμα, σοφὲ Διονύσιε, Ἀποστόλων ὁμόζηλε, τοῦ Παρακλήτου, εὐηχέστατον ὄργανον, βίου κρείττονος, φυτοκόμος θεόσοφος· ἄστρον τὸ οὐρανόφωτον, καὶ λύχνος πολύφωτος, ὁ διαχέων τοῖς πᾶσι, τῆς εὐσεβείας τὴν ἔλλαμψιν· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

**Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...**

Χαίροις ὁ Ἱεράρχης Χριστοῦ, ὁ τοῦ φωτὸς πεπληρωμένος τῆς χάριτος, ὁ ξίφει πληγεὶς καὶ χέας, ὑπὲρ Χριστοῦ ἀνδρικῶς, τὸ οἰκεῖον αἷμα θεῖον ἔρωτι, σοφὲ Διονύσιε, Ἐκκλησίας ἑδραίωμα, στόμα Κυρίου, ὁ ἐκβλύσας διδάγματα, ἐν τῇ ποίμνῃ σου, ὑπὲρ μέλι ἡδύνοντα· Μάρτυς ὁ ἱερώτατος, παθῶν τοῦ Παντάνακτος, καὶ βασιλείας τῆς ἄνω, συγκοινωνὸς καὶ συμμέτοχος. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

**Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει...**

Χαίροις ὁ Ἱεράρχης Χριστοῦ, ὁ τῶν Μαρτύρων κοινωνὸς καὶ



Εκδόσεις ΠΝΟΗ Ι.Μ. Κορίνθου, Κόρινθος 1977

ὁμότροπος· αὐτῶν γὰρ ὑπῆλθες χαίρων, ἐνδρειοτάτῃ ψυχῇ, τὸν ἀγῶνα μάκαρ Διονύσιε, καὶ ῥείθροις αἱμάτων σου, λαμπροτέραν ἐτέλεσας, ἱεραρχίας, τὴν στολὴν τὴν ὑπέρτιμον, μεθ' ἧς ἔδραμες, πρὸς ναὸν τὸν οὐράνιον. Ὅθεν τοὺς ἑορτάζοντας, τὴν πάνσεπτον μνήμην σου, Ἱερομάρτυς Κυρίου, ῥῦσαι δεινῶν περιστάσεων, Χριστὸν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ θεῖον ἔλεος.

**Δόξα. Ἦχος πλ. β΄.**

Ὁ τῆς θείας ἐπιπνοίας κοινωνὸς καὶ μέτοχος, καὶ τῆς ἐν Κορίνθῳ Ἐκκλησίας διδάσκαλος, μάρτυς ἀληθής, τοῦ Χριστοῦ ἐδείχθης, καλῶς ἀγωνισάμενος, ἀξιάγαστε Διονύσιε. Καὶ νῦν τῷ θρόνῳ αὐτοῦ παριστάμενος, μὴ παύσῃ ἀναφέρων, τὰς ὑπὲρ ἡμῶν ἱλαστηρίους δεήσεις, ὡς ἂν θεῖον εὕρωμεν ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον.**

Ὁ Ποιητὴς καὶ Λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρώην κατάρας τὸν Ἀδὰμ ἠλευθέρωσε· διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ χαῖρε τοῦ Ἀγγέλου· χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

**Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.**

**Ἦχος γ΄. Θείας πίστεως.**

Θεῖος πρόεδρος, Κορίνθου ὤφθης, ὡς τοῦ Πνεύματος, λαμπρὸν δοχεῖον, Ἱερομάρτυς σοφὲ Διονύσιε· καὶ τῷ οἰκείῳ σου αἵματι Ὅσιε, ὥσπερ θυσία Χριστῷ προσενήνεξαι. Ὅθεν πρέσβευε, δοθῆναι ταῖς σὲ γεραίρουσι, πταισμάτων ἱλασμὸν καὶ μέγα ἔλεος.

**Θεοτοκίον**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν...

**Ἀπόλυσις.**

## ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**

Τὴν μνήμην σου σοφέ, τὴν ἁγίαν τελοῦντες, ὑμνοῦμεν εὐσεβῶς,

τοὺς σεπτούς σου ἀγῶνας, καὶ πίστει ἐκβοῶμέν σοι, ἱερὲ Διονύσιε· Χριστῷ πρέσβευε, δοῦναι ἡμῖν Ἱεράρχα, θείαν ἔλλαμψιν, καὶ ἱλασμὸν τῶν πταισμάτων, καὶ βίου διόρθωσιν.

Θεοτοκίον

Τὴν φύσιν τῶν βροτῶν, ἐξ ἁγνῶν σου αἱμάτων, ὁ Λόγος τοῦ Θεοῦ, ἀσυγχύτως ἀτρέπτως, Παρθένε μορφωσάμενος, Θεὸς ἅμα καὶ ἄνθρωπος, ὤφθη ἅπασι, καὶ τὴν ἀρχαίαν κατάραν, ἐξηφάνισε, Σταυρῷ αὐτὴν θανατώσας· διό σε δοξάζομεν.

**Μετὰ τὴν β΄ Στιχολογίαν. Κάθισμα.**

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Ἀμέμπτως ἱέρευσας, τῷ ἐπὶ πάντων Θεῷ, καὶ θῦμα εὐπρόσδεκτον, προσανηνέχθης αὐτῷ, ἀθλήσας δι᾽ αἵματος. Ὅθεν ὡς Ἱεράρχην, καὶ κλεινὸν Ἀθλοφόρον, τιμῶμέν σε καὶ βοῶμεν, Διονύσιε Πάτερ. Ἱκέτευε ἀπαύστως, ὑπὲρ τῶν τιμώντων σε.

Θεοτοκίον.

Ἀφράστως ἐκύησας, τὸν ἐπὶ πάντων Θεόν, δι᾽ ἄφατον ἔλεος, οὐσιωθέντα ἐκ σοῦ, ἀνθρώπων τὸ φύραμα· ὅνπερ Θεογεννῆτορ, ὡς Υἱὸν καὶ Θεόν σου, δοῦναι πταισμάτων λύσιν, ἐκτενῶς ἐκδυσώπει, ἡμῖν τοῖς καταφεύγουσι, θερμῶς τῇ πρεσβείᾳ σου.

**Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.**

**Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.**

Ἱεράρχης ἐδείχθης θεοειδής, καὶ ποιμὴν τῆς Κορίνθου περιφανής, καὶ πᾶσιν ὑπέδειξας, τὴν ὁδὸν τὴν σωτήριον, καὶ τοῦ Χριστοῦ τὸν θάνατον, προθύμως ἐζήλωσας, μαρτυρικῶς τελέσας, τὸν δρόμον σου Ὅσιε· ὅθεν οὐρανίων, ἀμοιβῶν ἠξιώθης, λαμπρῶς δοξαζόμενος, ἐκ χειρὸς τοῦ Παντάνακτος, ἱερὲ Διονύσιε· ὢ πρέσβευε ἀπαύστως σοφέ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον

Τὸν Δεσπότην τῶν ὅλων καὶ Ποιητήν, ἀπορρήτως τεκοῦσα μετὰ σαρκός, ὃ ἦν διαμείναντα, καὶ παρθένον σε ἄφθορον, ὡς ἧς καὶ πρὸ τοῦ



Εκδόσεις ΠΝΟΗ Ι.Μ. Κορίνθου, Κόρινθος 1977

www.tezaurliturgic.ro


τόκου, φυλάξαντα Ἄχραντε, καὶ τὸν Ἀδὰμ ἐξάραντα, ἀρᾶς τῆς τοῦ ὄφεως, πᾶσι σωτηρίας, ἀναδέδειξαι πύλη, τοῖς πίστει δοξάζουσι, τὸν ἀνέκφραστον τόκον σου, καὶ βοῶσί σοι Πάναγνε· χαῖρε Θεοτόκε Ἁγνή, τῶν ἀνθρώπων μέγα ἱλαστήριον, καὶ ἡμῶν προστασία, καὶ σκέπη σωτήριος.

**Τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου καὶ τὸ Προκείμενον.**

**Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοι σου ἀγαλλιάσει ἀγαλλιάσονται.**

**Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει...**

**Εὐαγγέλιον ζήτει τῇ στ΄ Νοεμβρίου.**

**Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἱεράρχου...**

**Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...**

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**

**Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...**

Τὸ τοῦ Χριστοῦ ποτήριον, ἐν εὐφροσύνῃ πέπωκας Ὅσιε, πληγεὶς τῷ ξίφει, καὶ ἀθλητικῷ τέλει σφραγίσας, τὴν ἁγίαν ζωήν σου· καὶ νῦν τῆς θείας δόξης, ἀμέσως κατατρυφῶν, καὶ τὰ ὑπὲρ λόγον ἀνακεκαλυμμένως ὁρῶν, τοῦ ξύλου τῆς ζωῆς ἀπολαύεις, ἀΰλῳ κοινωνίᾳ θεούμενος. Ἀλλ᾽ ὦ Ἱερομάρτυς Διονύσιε, πρέσβευε δεόμεθα, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

**Σῶσον ὁ Θεὸς τὸν λαόν σου...**

**Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς:**

**«Διονύσιος Κορίνθου ποιμὴν ὤφθη. Γερασίμου».**

**Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.**

Δεδοξασμένος ὡς θεῖος ἱερουργός, καὶ μάρτυς ἀήττητος, παριστάμενος Χριστῷ, Πάτερ Διονύσιε ἀεί, καθικέτευε ὑπὲρ τῶν εὐφημούντων σε.

Ἱεραρχίας δεξάμενος τὴν στολήν, Ἱεράρχης ὅσιος, καὶ ποιμὴν ἀληθινός, ὤφθης Διονύσιε σοφέ, Ἐκκλησίας τοῦ Χριστοῦ ὡς ἐνθεώτατος.



Εκδόσεις ΠΝΟΗ Ι.Μ. Κορίνθου, Κόρινθος 1977

Ὁλολαμπῆ ὡς ἀστέρα ὁ ἱερός, βίος σου σὲ ἔδειξεν, Ἱεράρχα τοῦ Χριστοῦ, καὶ τῶν Ἀποστόλων μιμητήν, Διονύσιε σοφὲ Κορίνθου πρόεδρε.

Νυμφαγωγὸς Ἐκκλησίας τῆς τοῦ Χριστοῦ, Πάτερ ἀναδέδειξαι, καὶ παρέστησας αὐτήν, λόγοις καὶ ἁγίαις διδαχαῖς, τῷ νυμφίῳ Ἰησοῦ ὡς νύμφην ἄμωμον.

Θεοτοκίον.

Ὑπερφυῶς σωματώσασα τὸν Θεόν, τὸν ἡμᾶς ῥυσάμενον, τῆς κατάρας τοῦ Ἀδάμ, ῥῦσαί με παθῶν σωματικῶν, Θεοτόκε, καὶ τὸν νοῦν μου καταλάμπρυνον.

Ὠδὴ γ΄. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Σοφίᾳ θείᾳ λαμπρυνθείς, τῷ σῷ λόγῳ λαμπρύνεις, σκοτισθείσας καρδίας, Διονύσιε σοφέ, καὶ ταύτας ἀποτελεῖς, φωτὸς θείου, σκεύη καθαρώτατα.

Ἱερουργῶν θεοπρεπῶς, εὐσεβείας τοῖς ἔργοις, Εὐαγγέλιον θεῖον, καθιερώσας Χριστῷ, πλείστας ψυχὰς ἀληθῶς, διδαχαῖς σου, Πάτερ Διονύσιε.

Ὁ νοῦς σου Πάτερ τῷ φωτί, τῆς Ἁγίας Τριάδος, φωτιζόμενος ὄντως, διδαγμάτων ἱερῶν, ἀνέβλυσε ποταμούς, τὰς καρδίας, τῶν πιστῶν ἀρδεύοντας.

Θεοτοκίον.

Σωματωθεὶς ἐκ τῶν ἁγνῶν, καὶ σεπτῶν σου αἱμάτων, ὁ Ὑπέρθεος Λόγος, ὑπερτέραν οὐρανῶν, καὶ λαμπροτέραν Ἁγνή, τοῦ ἡλίου, ἀληθῶς σε ἔδειξε.

Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ὡς σοφὸς Ἱεράρχης καὶ ἐνθεώτατος, μαρτυρικῶς μεγαλύνεις τὸν Βασιλέα Χριστόν, Διονύσιε κλεινὲ Κορίνθου πρόεδρε· καὶ προσενήνεξαι αὐτῷ, ὥσπερ θῦμα λογικόν, αἱμάτων βαφεὶς κογχύλῃ, καὶ ἱλεούμενος πᾶσιν, ἡμῖν τὸν μόνον εὐδιάλλακτον.

Θεοτοκίον.

Ὥσπερ στάμνος χρυσέα καὶ πολυώνυμος, τῆς ζωῆς Θεοτόκε τὸ



Εκδόσεις ΠΝΟΗ Ι.Μ. Κορίνθου, Κόρινθος 1977

μάννα φέρουσα, τὸν Δεσπότην τοῦ παντὸς Χριστὸν τὸν Κύριον, ζώωσόν μου τὴν ψυχήν, νεκρωθεῖσαν τῇ δεινῇ, μανίᾳ τοῦ βροτοκτόνου, καὶ ἴθυνόν με Παρθένε, πρὸς μετανοίας ζωὴν ἄμεμπτον.

**Ὠδὴ δ΄. Χριστός μου Κύριος.**

Κορίνθου θεῖόν σε, ποιμένα ἔδειξεν, ἡ τοῦ Πνεύματος χάρις Ἱερουργέ, καὶ ἠθῶν σεμνότητος, καὶ πολιτείας καθαρᾶς, φυτοκόμον Διονύσιε.

Ὅλον τὸν πόθον σου, Θεῷ ἀνέτεινας, ἀνυψούμενος βίῳ εἰλικρινεῖ, πρὸς τὰ ὑπὲρ ἔννοιαν, καὶ τοὺς πιστοὺς μυσταγωγῶν, Διονύσιε τὰ κρείττονα.

Ῥημάτων θείων σου, φωτὶ μακάριε, τοὺς ἐν σκότει τῆς πλάνης φωταγωγεῖς, καὶ προτρέπεις ἅπαντας, πρὸς τὴν ἀγάπησιν Χριστοῦ, Ἱεράρχα ὑποθήκαις σου.

Ἰλύος ὕψωσαι, δόξης τῆς χείρονος, καὶ τῆς δόξης τῆς θείας σκεῦος λαμπρόν, Πάτερ ἀναδέδειξαι, ἀνακαθάρας σεαυτόν, διὰ βίου τελειότητος.

**Θεοτοκίον.**

Νέκρωσον Ἄχραντε, τὴν βασιλεύουσαν, ἐν ἐμοὶ ἁμαρτίαν τὴν ρυπαράν, καὶ ζωῆς τῷ ἔρωτι, τῆς καθαρᾶς καὶ μυστικῆς, τὴν ψυχήν μου ἀναπτέρωσον.

**Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου ἀγαθέ.**

Θεῷ ἀμέμπτως ἱερουργῶν, καὶ σοφῶς ποιμαίνων τοῦ Χριστοῦ, τὴν Ἐκκλησίαν μακάριε, ὑπὲρ ταύτης χαίρων τὴν ζωὴν τέθυκας, ἀθλήσας Διονύσιε ἐννομώτατα.

Οἱ τῶν αἱμάτων σου ὀχετοί, ἔσβεσαν πυρὰν εἰδωλικήν, ὡς ἀληθῶς Διονύσιε, καὶ τὴν Ἐκκλησίαν ἤρδευσαν Ἅγιε, βλαστάνειν εὐσεβείας καρπὸν τὸν ὥριμον.

Ὑπὸ τοῦ Πνεύματος αὐγασθείς, οἷα τὴν καρδίαν καθαρός, σοφίαν Πάτερ τὴν θύραθεν, τῷ Εὐαγγελίῳ μάκαρ τῆς χάριτος, ἐμφρόνως Διονύσιε καθυπέταξας.



Εκδόσεις ΠΝΟΗ Ι.Μ. Κορίνθου, Κόρινθος 1977

**Θεοτοκίον**

Πεποικιλμένη ταῖς ἀρεταῖς, καὶ τῆς παρθενίας ταῖς αὐγαῖς, ὑπὲρ τὸν ἥλιον λάμπουσα, τῆς δικαιοσύνης τίκτεις τὸν Ἥλιον, Παρθένε σαρκωθέντα ἐκ τῶν αἱμάτων σου.

**Ὠδὴ στ΄. Τοῦ βίου τὴν θάλασσαν.**

Ὁ βίος σου Ὅσιε, τῷ φωτὶ τῶν ἀρετῶν, ἐνθέως λαμπρυνόμενος, φωτοειδῆ σε λαμπτῆρα καὶ ἀπλανῆ, τῆς πίστεως ἔδειξε, Διονύσιε Πάτερ ἱερώτατε.

Ἰσχὺν θείαν Ὅσιε, δεδεγμένος ἐκ Θεοῦ, ἐν λόγοις τε καὶ πράξεσι, δυνατὸς ἀνεδείχθης καὶ τοῦ ἐχθροῦ, καθεῖλες τὴν δύναμιν, ἐναθλήσας νομίμως Διονύσιε.

Μιμούμενος Ἅγιε, Ἀποστόλους τοῦ Χριστοῦ, τοὺς εὐσεβεῖς ἐστήριζες, ἐπιστολὰς ἐπιστέλλων φωτοειδεῖς, σοφὲ Διονύσιε, δι᾿ ὧν πᾶσι τὰ κρείττονα ὑπέφαινες.

**Θεοτοκίον**

Ἡ πύλη ἡ πάμφωτος, ἣν διώδευσε Χριστός, καὶ κεκλεισμένην ἔλιπε, μετανοίας μοι πύλας ἐκδυσωπῶ, Παρθένε διάνοιξον, ὁδηγούσας ζωὴν πρὸς ἀτελεύτητον.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τὴν ὑπὲρ ἡμῶν.**

Πνεύματος σοφέ, τὴν χάριν εἰσδεδεγμένος, λύχνος φαεινός, ἐδείχθης τῆς Ἐκκλησίας, καὶ ποιμὴν τῆς Κορίνθου, ἀληθὴς Διονύσιε, ὑπὲρ ἧς καὶ χαίρων ἤθλησας, ζήλῳ θείῳ πυρπολούμενος· διὰ τοῦτο ἐκβοῶμέν σοι· χαίροις θεράπον Χριστοῦ, Ἱερομάρτυς σοφέ.

**Ὁ Οἶκος.**

Τὸν καρπὸν τῆς σοφίας δρεψάμενος, εὐσεβείας ἐδείχθης διδάσκαλος, καὶ λαμπρᾷ πολιτείᾳ κοσμούμενος, Ἀποστόλων τὸν ζῆλον ἐκέκτησο, ἀποχωρίσας σεαυτόν, τῶν ἐν τῷ κόσμῳ ἀγαθῶν· ἔνθεν νεύσει θεϊκῇ, ἱερωσύνης δεξάμενος στολήν, ἀρχιερεὺς ὅσιος καὶ ἄκακος, καὶ μαθητὴς Χριστοῦ ὤφθης ἐνθεώτατος, καὶ τῆς ἐν Κορίνθῳ ἁγίας Ἐκκλησίας, ἁγιώτατος ποιμήν, καὶ ὁδηγὸς θεοειδής, καὶ λαμπαδοῦχος ἱερός, Διονύσιε ἱερώτατε, τοῦ Παρακλήτου πολύτιμον ὄργανον· καὶ ξίφει

ὑπὲρ Χριστοῦ πληγείς, αἱμάτων τοῖς ῥείθροις, τὴν ἱερὰν ἀμπεχόνην λαμπροτέραν ἀνέδειξας, καὶ εἰς τὸ ἄνω θυσιαστήριον μετὰ δόξης ἀνέδραμες, ἀκούων παρ' ἡμῶν· χαίροις θεράπον Χριστοῦ, Ἱερομάρτυς σοφέ.

**Συναξάριον.**

Τῇ κθ΄. τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Ἱερομάρτυρος Διονυσίου Ἐπισκόπου Κορίνθου.

**Στίχοι.**

Διονύσιος εἷς τελῶν θυηπόλων
Ξίφος μετελθὼν εἷς ἐστι τῶν Μαρτύρων.
Διονύσιον εἰκάδι ξίφει πλῆξαν ἐνάτῃ τομῷ.

Οὗτος ἦν ἀκμάζων τῷ δευτέρῳ αἰῶνι, ἐπὶ Μάρκου Αὐρηλίου (ἐν ἔτει ρξα΄. ρπ΄.) πάσῃ σοφίᾳ διαπρέπων, καὶ λόγων εὐρύτητι, καὶ βίου λαμπρότητι, καὶ παντοδαποῖς ἄλλοις προτερήμασι περικοσμούμενος, ἐν ζήλῳ Ἀποστολικῷ τῆς εὐσεβείας τὸ μυστήριον κηρύττων, καὶ τοῦ Εὐαγγελίου τῆς χάριτος τὸν λόγον καλλιεργῶν. Καλῶς δὲ καὶ θεοφιλῶς ποιμαίνων καὶ διεξάγων, ὡς Ἱεράρχης περιφανὴς καὶ ποιμὴν ἀληθινὸς τὴν ἐν Κορίνθῳ ἁγίαν Ἐκκλησίαν, ἣν θείᾳ ἐνεπιστεύθη ψήφῳ, μαρτυρικῶς τετέλεκε τὴν ζωήν, ξίφει πληγεὶς καὶ θεορρήμων ἀνήρ, πλείστους καὶ δι' ἐπιστολῶν ἐπεστήριζε, πεπληρωμένων θείας διδασκαλίας καὶ μαθήσεως ἱερᾶς, ἐξ ὧν ὀκτὼ ὁ ἱστορικὸς ἀναγράφει Εὐσέβειος (Ἐκκλ. Ἱστ. Βιβλ. δ΄. κεφ. κζ΄.).

Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Δροσοβόλον μέν.**

Νοῦν τὸν σὸν ἀποκαθάρας πάσης σχέσεως, ὑλώδους ἱερώτατε, τοῦ ἀΰλου φωτὸς δοχεῖον, ὤφθης ἀληθῶς, καὶ πάντας ἐδίδασκες βοᾶν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς ποιμένα σε ἡ Κόρινθος πανάριστον, καὶ ὑποφήτην ἔνθεον, καὶ ἐν αἵματι τῷ ἰδίῳ, Μάρτυρα Χριστοῦ, τιμᾷ Διονύσιε σοφέ, πανηγυρίζουσα τὴν σήν, πανευκλεῆ ἑορτήν.

Φωτισμῷ τοῦ Παρακλήτου ἐλλαμπόμενος, ὡς Ἀποστόλων σύμψυχος, Διονύσιε θεηγόρε, μύστα τοῦ Χριστοῦ, ἁγίαις σοφὲ ἐπιστολαῖς, ἐπιστηρίζεις τῶν πιστῶν, τὰς διανοίας στερρῶς.



Εκδόσεις ΠΝΟΗ Ι.Μ. Κορίνθου, Κόρινθος 1977

Θεηγόρον γλῶσσαν ἔχων Διονύσιε, διδάγματα οὐράνια, θείῳ Πνεύματι ἀναβλύζεις, ὥσπερ ὕδωρ ζῶν, καὶ ρεῖθρα θεόβρυτα σοφέ, καὶ καταρδεύεις δαψιλῶς, τὴν Ἐκκλησίαν Χριστοῦ.

Θεοτοκίον.

Ἡ τὸν πάντων Ποιητὴν καὶ Παντοκράτορα, ὑπερφυῶς κυήσασα, Θεοτόκε τῆς τοῦ Βελίαρ, ῥῦσαι με φορᾶς, καὶ φόβῳ με ἔδρασον Θεοῦ, ἵνα βαδίσω ἀκλινῶς, τῶν ἐντολῶν τὴν ὁδόν.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Γεωργήσας τῷ λόγῳ σοφὲ τῆς χάριτος, τῶν ψυχῶν τὰς ἀρούρας ταύτας ἐποίησας, φέρειν ἀληθῶς, Διονύσιε πάνσοφε, στάχυν σωτηρίας, Χριστῷ τῷ Ζωοδότῃ.

Ἐξεχύθη ἡ χάρις τοῦ θείου Πνεύματος, τοῖς σοῖς χείλεσι Πάτερ ἐξ ἀκενώτου πηγῆς· ὅθεν διδαχάς, σωτηρίας παρέθηκας, ὡς Χριστοῦ θεράπων, πληρώματι τῷ θείῳ.

Ρείθροις θείων αἱμάτων σου Πάτερ ἔσβεσας, τῆς κακίας τοὺς ἄνθρακας Διονύσιε, καὶ τῶν εὐσεβῶν, τὰς καρδίας ἐδρόσισας, μέλπειν καὶ δοξάζειν, Τριάδα τὴν ἁγίαν.

Θεοτοκίον.

Ἀειπάρθενε Κόρη Θεογεννήτρια, τὴν ῥυπῶσαν ψυχήν μου ἀμέτροις πάθεσι, κάθαρον ῥοαῖς, τοῦ ἐλέους σου Δέσποινα, καὶ τῆς τοῦ Βελίαρ, ἀπάλλαξόν με πλάνης.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις.

Σοφίᾳ θείᾳ κατακοσμούμενος, καὶ ἀρετῶν τῷ κύκλῳ στεφανούμενος Ὅσιε, Ἱεράρχης θεῖος ἐχρημάτισας, καὶ μαρτυρίου πέπωκας τὸ ποτήριον, ὑπὲρ Χριστοῦ ἀθλήσας, θεόρρημον Διονύσιε.

Ἱερουργήσας οἷάπερ ἄγγελος, ἐπὶ τῆς γῆς τῷ Λόγῳ Διονύσιε πάνσοφε, τούτῳ ὡς θυμίαμα εὐπρόσδεκτον, καὶ προσφορὰν τελείαν σαυτὸν προσήγαγες, τελειωθεὶς δι' αἵματος, μαρτυρικῶς μακάριε.

Μαρτύρων δήμοις συναυλιζόμενος, καὶ ἱερέων τάξεσι σοφὲ ἀριθμούμενος, σὺν αὐτοῖς ἱκέτευε δεόμεθα, Ἱερομάρτυς θεῖε ὑπὲρ τῶν πίστει σου, τὴν μνήμην ἐκτελούντων, θεηγόρε Διονύσιε.



Εκδόσεις ΠΝΟΗ Ι.Μ. Κορίνθου, Κόρινθος 1977

www.tezaurliturgic.ro


Ὁ τῆς Κορίνθου ποιμὴν θεόσοφος, Ἱερομάρτυς θεῖε Διονύσιε ἔνδοξε, ἔχων παρρησίαν πρὸς τὸν Κύριον, ὑπὲρ τῆς σῆς μερίδος ἀεὶ ἱκέτευε, κἀμοὶ δὲ θεηγόρε, τῶν πταισμάτων αἴτει ἄφεσιν.

**Θεοτοκίον**

Ὑψίστου θρόνος φωτοειδέστατος, Θεογεννῆτορ Κόρη ἀληθῶς ἐχρημάτισας· διὸ ῥῦσαί με μανίας τοῦ ἀλάστορος, καὶ σκοτασμοῦ Παρθένε τῶν παραβάσεων, καὶ τῷ φωτί με ἤδη, μετανοίας καταλάμπρυνον.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Ἱεραρχήσας Ἅγιε, Χριστῷ τῷ Παντοκράτορι, ἐν εὐσεβείᾳ ἁπάσῃ, καὶ εὐθυτάτῃ καρδίᾳ, μαρτυρικῶς ἐδόξασας, τὸ θεῖον αὐτοῦ ὄνομα, παμμάκαρ Διονύσιε· διὸ ἀξίων ἐπάθλων, ἐν οὐρανοῖς ἠξιώθης.

**Θεοτοκίον.**

Τὸν πάντων βασιλεύοντα, καὶ Ποιητὴν τῆς κτίσεως, Χριστὸν ἀφράστως τεκοῦσα, Παρθενομῆτορ Μαρία, αὐτὸν ἀεὶ ἱκέτευε, ῥύεσθαι πάσης θλίψεως, τοὺς εὐλαβῶς προστρέχοντας, τῇ κραταιᾷ σου πρεσβείᾳ, καὶ τὴν σὴν δόξαν ὑμνοῦντας.

**Εἰς τοὺς Αἴνους.**

**Ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος!**

Πάτερ σοφὲ Διονύσιε, ἱερωσύνης στολήν, ἱερῶς ἐνδυσάμενος, Ἱεράρχης ὅσιος, ἀληθῶς ἐχρημάτισας, καὶ εὐσεβείας τὸ θεῖον κήρυγμα, οἰκείοις αἵμασιν ἐμεγάλυνας. Ὅθεν τὴν μνήμην σου, τὴν ἁγίαν σήμερον, χρεωστικῶς, ἄγοντες δοξάζομεν, Χριστὸν τὸν Κύριον.

Πάτερ σοφὲ Διονύσιε, σοφίᾳ θείᾳ τὸν νοῦν, ἱερῶς λαμπρυνόμενος, ὑποφήτης ἔνθεος, μυστηρίων τῆς χάριτος, καὶ οἰκονόμος ψυχῶν θεόσοφος, καὶ στόμα θεῖον ὤφθης μακάριε· ὅθεν διδάγματα, ἱερὰ ἀνέβλυσας, τῶν εὐσεβῶν, πρὸς ἀγάπην ἔνθεον, τὸν νοῦν ἀνάγοντα.

Πάτερ σοφὲ Διονύσιε, ζήλῳ τῷ θείῳ τρωθείς, Ἀποστόλων ἐβάδισας, τοῖς ἁγίοις ἴχνεσι, σεαυτὸν ἀρνησάμενος, καὶ τοῦ Σωτῆρος τὸ



Εκδόσεις ΠΝΟΗ Ι.Μ. Κορίνθου, Κόρινθος 1977

μέγα ὄνομα, πόνοις ἀθλήσεως ἐμεγάλυνας· ὅθεν συνόμιλος, τῶν Ἀγγέλων γέγονας, ἐν οὐρανοῖς, ὑπὲρ τῶν τιμώντων, ἀεὶ δεόμενος.

Πάτερ σοφὲ Διονύσιε, ἀρχιερεὺς εὐκλεής, καὶ ποιμὴν θεοπρόβλητος, Κορινθίων γέγονας, ὡς τοῦ Πνεύματος ὄργανον· ὅθεν καυχᾶται τῇ ποιμανσίᾳ σου, ἡ Ἐκκλησία Κορίνθου χαίρουσα, καὶ τὴν ἁγίαν σου, μνήμην ἑορτάζουσα, σὲ πρὸς Χριστόν, μεσίτην προβάλλεται, καὶ πρέσβυν ἕτοιμον.

**Δόξα. Ἦχος πλ. α΄.**

Ὡς Ἱεράρχης σοφός, καὶ τῶν ἀρρήτων μύστης, ἱεραρχικῶς Χριστῷ εὐηρέστησας, Διονύσιε Πάτερ, ὑποταγεὶς τῷ θείῳ θελήματι· καὶ αἵματι ἀθλήσεως, τὸν θάνατον αὐτοῦ δοξάσας, τῆς αἰωνίου δόξης κληρονόμος ὤφθης, καὶ ἀϊδίων ἀγαθῶν κοινωνός, Ἱερομάρτυς μακάριε. Διὸ Κόρινθος ἡ σὴ κληρουχία, ἑορτάζουσα τὴν μνήμην σου, τὰ σὰ προτερήματα κηρύττει, καὶ πιστῶς βοᾷ σοι· Μὴ διαλίπῃς Ἅγιε, πρεσβεύων Κυρίῳ, ῥύεσθαι ἡμᾶς πάσης θλίψεως.

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε Θεοτόκε Παρθένε...

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

## ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

**Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ ᾠδή. Ἀπόστολον ζήτει τῇ στ΄ Νοεμβρίου, Εὐαγγέλιον δὲ τοῦ Ἁγίου Χρυσοστόμου.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...**

**Μεγαλυνάριον.**

Χαίροις ὁ Κορίνθου θεῖος ποιμήν, καὶ τῆς εὐσεβείας, θεορρήμων ὑφηγητής· Χαίροις ὁ ἐκχέας, ὑπὲρ Χριστοῦ τὸ αἷμα, ἀθλητικοῖς ἀγῶσιν, ὦ Διονύσιε.

**Δίστιχον.**

**Διονύσιε τοῦτον τὸν ὕμνον δέξαι**
**Ὃν σοι Γεράσιμος ἐξύφανε πόθῳ.**



Εκδόσεις ΠΝΟΗ Ι.Μ. Κορίνθου, Κόρινθος 1977